12.[2] ἐκ τούτου δὲ κληθέντες ἐναγεῖς ἐμισοῦντο: καὶ τῶν Κυλωνείων οἱ περιγενόμενοι πάλιν ἦσαν ἰσχυροί, καὶ στασιάζοντες ... πρὸς τοὺς ἀπὸ τοῦ Μεγακλέους. ἐν δὲ τῷ τότε χρόνῳ τῆς στάσεως ἀκμὴν ... καὶ τοῦ δήμου διαστάντος, ... ὁ Σόλων παρῆλθεν εἰς μέσον ἅμα τοῖς ἀρίστοις τῶν Ἀθηναίων, καὶ … ἔπεισε τοὺς ἐναγεῖς λεγομένους δίκην ὑποσχεῖν καὶ κριθῆναι τριακοσίων ἀριστίνδην δικαζόντων.

[3] Μύρωνος δὲ τοῦ Φλυέως κατηγοροῦντος ἑάλωσαν οἱ ἄνδρες, καὶ μετέστησαν οἱ ζῶντες: τῶν δ᾽ ἀποθανόντων τοὺς νεκροὺς ἀνορύξαντες ἐξέρριψαν ὑπὲρ τοὺς ὅρους. ταύταις δὲ ταῖς ταραχαῖς καὶ Μεγαρέων … ἀπέβαλόν τε Νίσαιαν οἱ Ἀθηναῖοι καὶ Σαλαμῖνος ἐξέπεσον αὖθις. καὶ φόβοι τινὲς ἐκ δεισιδαιμονίας ἅμα καὶ φάσματα κατεῖχε τὴν πόλιν, οἵ τε μάντεις ἄγη καὶ μιασμοὺς δεομένους καθαρμῶν προφαίνεσθαι διὰ τῶν ἱερῶν ἠγόρευον.

[4]οὕτω δὴ μετάπεμπτος αὐτοῖς ἧκεν ἐκ Κρήτης Ἐπιμενίδης ὁ Φαίστιος ... ἐδόκει δέ τις εἶναι θεοφιλὴς καὶ σοφὸς περὶ τὰ θεῖα.

[5] ... καὶ καθαρμοῖς καὶ… καθοσιώσας τὴν πόλιν ὑπήκοον τοῦ δικαίου

...

13. οἱ δ᾽ Ἀθηναῖοι τῆς Κυλωνείου πεπαυμένης ταραχῆς, … τὴν παλαιὰν αὖθις στάσιν ὑπὲρ τῆς πολιτείας ἐστασίαζον, ὅσας χώρα διαφορὰς εἶχεν, εἰς τοσαῦτα μέρη τῆς πόλεως διαστάσης.

[2] τότε δὲ τῆς τῶν πενήτων πρὸς τοὺς πλουσίους ἀνωμαλίας ὥσπερ ἀκμὴν …διέκειτο, καὶ μόνως ἂν ἐδόκει καταστῆναι ... τυραννίδος γενομένης. ἅπας μὲν γὰρ ὁ δῆμος ἦν ὑπόχρεως τῶν πλουσίων. ἢ γὰρ ἐγεώργουν ἐκείνοις ἕκτα τῶν γινομένων τελοῦντες, ἑκτημόριοι προσαγορευόμενοι καὶ θῆτες, ἢ χρέα λαμβάνοντες ἐπὶ τοῖς σώμασιν … οἱ μὲν αὐτοῦ δουλεύοντες, οἱ δ᾽ ἐπὶ τὴν ξένην πιπρασκόμενοι.

[3] πολλοὶ δὲ καὶ παῖδας ἰδίους ἠναγκάζοντο πωλεῖν …καὶ τὴν πόλιν φεύγειν διὰ τὴν χαλεπότητα τῶν δανειστῶν.

…

14.ἐνταῦθα δὴ τῶν Ἀθηναίων οἱ φρονιμώτατοι συνορῶντες τὸν Σόλωνα μόνον μάλιστα τῶν ἁμαρτημάτων ἐκτὸς ὄντα, καὶ μήτε τοῖς πλουσίοις κοινωνοῦντα τῆς ἀδικίας … καταπαῦσαι τὰς διαφοράς.

[2] ᾑρέθη δὲ ἄρχων μετὰ Φιλόμβροτον ὁμοῦ καὶ διαλλακτὴς καὶ νομοθέτης, δεξαμένων προθύμως αὐτὸν ὡς μὲν εὔπορον τῶν πλουσίων, ὡς δὲ χρηστὸν τῶν πενήτων. … εἰπόντος ὡς τὸ ἴσον πόλεμον οὐ ποιεῖ, καὶ τοῖς κτηματικοῖς ἀρέσκειν καὶ τοῖς ἀκτήμοσι, τῶν μὲν ἀξίᾳ καὶ ἀρετ ῇ, τῶν δὲ μέτρῳ καὶ ἀριθμῷ.

16.ἤρεσε δ᾽ οὐδετέροις, ἀλλ᾽ ἐλύπησε καὶ τοὺς πλουσίους ἀνελὼν τὰ συμβόλαια, καὶ μᾶλλον ἔτι τοὺς πένητας, ὅτι γῆς ἀναδασμὸν οὐκ ἐποίησεν ἐλπίσασιν αὐτοῖς, οὐδὲ παντάπασιν, ὥσπερ ὁ Λυκοῦργος, ὁμαλοὺς τοῖς βίοις καὶ ἴσους κατέστησεν.

ἐναγής – proklatý
μισέω – nenávidět
περιγίγνομαι – být v čele
ἰσχυρός – silný
στασιάζω – být v rozporu
ἀκμή – kulminace
διίστημι – rozdělovat
παρῆλθεν – aor. od παρέρχομαι – být nadřazený
πείθω – přesvědčovat
κρίνω – soudit
κατηγορέω – obviňovat
μεθίστημι – vyhnat
ἐκρίπτω – vyhodit
ταραχή – nepořádek
ἐξέπεσον – aor. od ἐκπίπτω – vyhnat, vyhodit
δεισιδαίμων – strach před božím hněvem
φάσμα – přízrak
μάντις – věštec
μιασμός – zločin
καθαρμός – očištění
καθοσιόομαι – zasvěcovat
ὑπήκοος – poslušný
πεπαυμένης – part. od παύω – zastavit
καθίστημι – dát do pořádku
πένης – chudý
ὑπόχρεως – zadlužený
χρέος – dluh
δουλεύω – být otrokem
καταπαύω – zastavit, ukončit

πιπράσκω – prodávat
χαλεπότης – nesnáz
δανειστής – lichvář
ἁμάρτημα – neúspěch, chyba
φρόνιμος – rozumný
ᾑρέθη – pas. aor. od αἱρέω – převzít
διαλλακτήρ – prostředník
δεξαμένων – part. od δέχομαι – brát, přijímat
πρόθυμος – ochotný
ἀρέσκω – uspokojovat
λυπέω – trápit
ἀνελὼν – part. od ἀναιρέω – přijímat